ʽἀλλ᾽ ἴθι δεῦρο, ἄναξ, ἵν᾽ ἔπος καὶ μῦθον ἀκούσῃς
ἡμέτερον· δάμασον δὲ μένος καὶ ἀτειρέα θυμόν.᾽

ἔτι δ᾽ ἀνώμαλος ὢν ὑπ᾽ ὀργῆς ὁ Ὕλας ἀπεκρίνατο F σκαιῶς· τὴν μὲν Αἴαντος ἔφη ψυχὴν εἰκοστὴν λαχοῦσαν ἐν Ἅιδου διαμείψασθαι κατὰ τὸν Πλάτωνα (Rep. 620 b) φύσιν λέοντος, αὑτῷ δὲ πολλάκις παρίστασθαι καὶ τὰ τοῦ κωμικοῦ γέροντος (Menand. fr. 223, 18)

ʽὄνον γενέσθαι κρεῖττον ἢ τοὺς χείρονας
ὁρᾶν ἑαυτοῦ ζῶντας ἐπιφανέστερον.᾽

καὶ ὁ Σῶσπις γελάσας ʽἀλλ᾽ ἕως μέλλομεν ἐνδύεσθαι τὸ κανθήλιον, εἴ τι κήδει Πλάτωνος, | δίδαξον ἡμᾶς, **740** ᾧτινι λόγῳ τὴν τοῦ Τελαμωνίου ψυχὴν πεποίηκεν ἀπὸ κλήρου βαδίζουσαν εἰκοστὴν ἐπὶ τὴν αἵρεσιν.᾽ ἀποσκορακίσαντος ⟨δὲ⟩ τοῦ Ὕλα (χλευάζεσθαι γὰρ ᾤετο δυσημερῶν) ὑπολαβὼν ὁ ἀδελφὸς ἡμῶν ʽτί οὖν;᾽ εἶπεν ʽοὐ δευτερεῖα μὲν ὁ Αἴας κάλλους καὶ μεγέθους καὶ ἀνδρείας ἀεὶ φέρεται ʽμετ᾽ ἀμύμονα Πηλείωνα᾽ (λ 551), τὰ δ᾽ εἴκοσι δευτέρα δεκάς, ἡ δὲ δεκὰς ἐν τοῖς ἀριθμοῖς κράτιστος, ὡς ἐν τοῖς Ἀχαιοῖς ὁ Ἀχιλλεύς;᾽ γελασάντων δ᾽ ἡμῶν ʽταῦτα μέν᾽ ὁ Ἀμμώνιος εἶπεν, ʽὦ Λαμπρία, κείσθω σοι πεπαιγμένα πρὸς Ὕλαν· ἡμῖν δὲ μὴ παίζων ἀλλ᾽ ἀπὸ σπουδῆς, ἐπεὶ τὸν λόγον ἑκὼν ἐξεδέξω, δίελθε B περὶ τῆς αἰτίας.᾽

2. Θορυβηθεὶς οὖν ὁ Λαμπρίας, εἶτα χρόνον οὐ πολὺν ἐπισχὼν ἔφη πολλαχοῦ μὲν ἡμῖν τὸν Πλάτωνα προσπαίζειν διὰ τῶν ὀνομάτων· ὅπου δὲ μῦθόν τινα τῷ περὶ ψυχῆς λόγῳ μίγνυσι, χρῆσθαι μάλιστα τῷ νῷ. τοῦ τε γὰρ οὐ-